ἀγνοοῦμεν· ἕτερον δὲ τρόπον, ὡς τῆς διαιρέσεως μιᾷ διαφορᾷ γινομένης, οὐ δυσίν· οἱ γὰρ ἄγγελοι πρὸς ἀγγέλους ἔχουσιν ὡς τὸ ἀνώτερον καὶ κατώτερον· ἀεὶ γὰρ εἷς ἄγγελος μετά τινος πρὸς ἕτερον ἄγγελον προσθήκης νοεῖται μέχρι τοῦ ἐσχάτου· ἀλλὰ τὸ μὲν ἀνώτερον ἔχει τι ἀληθῶς ἐν ἑαυτῷ ᾧ τοῦ χθαμαλωτέρου διενήνοχεν· ἔχει γὰρ ᾧ ὑπερβάλλει τὸν χθαμαλώτερον· τὸ δὲ ταπεινότερον οὐχ ἔχει τι ἀληθῶς θετικὸν ᾧ διαφέροι ἂν τοῦ ὑψηλοτέρου, ἀλλὰ διαφέρει μόνον τῷ ἐστερῆσθαι τῆς τελειότητος ἐκείνης ἣ ὑπὸ τοῦ ὑψηλοτέρου ὑπερβάλλεται. Οὕτως οὖν ἔσται κἂν τοῖς ἀγγέλοις· ὁ μὲν γὰρ ὑπερέχων ἕξει διαφορὰν ἀληθῆ πρὸς τὸν ὑποδεέστερον, τὸ δ' ἀνάπαλιν οὐκ ἔσται· ὥσπερ φαμὲν τὸν ἄνθρωπον ἔχειν τι ἀληθῶς ᾧ διαφέρει τοῦ ζῴου· ἔχει γὰρ τὸ λογικόν, ᾧ πλεονάζει τοῦ ζῴου· τὸ δέ γε ζῷον οὐδὲν ἔχει ᾧ διενήνοχε τοῦ ἀνθρώπου· ὅθεν οὐχ οὕτω κυρίως καὶ ἀληθῶς δυνάμεθα λέγειν, ὅτι τὸ ζῷον διαφέρει τοῦ ἀνθρώπου, ὥσπερ λέγομεν τὸν ἄνθρωπον διαφέρειν τοῦ ζῴου. Τρίτον τρόπον καὶ οὕτω νοεῖν δυνάμεθα τὸν λόγον ἐκεῖνον, ὅτι μιᾷ μόνῃ ἀληθεῖ διαφορᾷ ἀποκλείεται, τῇ δὲ ἑτέρᾳ ἐγκλείεται.

Ὡς ἂν δὲ γένοιτο τοῦτο σαφέστερον, εἰδέναι δεῖ ὅτι διαφορὰ ἀληθής ἐστιν ἡ καταφατική τε καὶ θετική· διαφορὰ δὲ οὐκ ἀληθής ἐστιν ἡ στερητική· ὥσπερ τὸ μὲν λογικὸν ἀληθής ἐστι διαφορά· τίθησι γάρ τι, δηλονότι τὸν λόγον· τὸ δὲ ἄλογον οὐκ ἔστιν ἀληθὴς διαφορά· οὐ γὰρ τίθησί τι, ἀλλὰ μόνον χωρίζει τὸν λόγον. Ἀλλ' ὅταν διαίρεσις γένους τινὸς γίνηται, ἀεὶ δυσὶ διαφοραῖς γίνεται, ὧν ἑτέρα μόνη ἐστὶ θετική, ἡ ἑτέρα δὲ στερητική, ὅπερ ἐστὶν ἀναγκαῖον οὕτω συμβαίνειν. Τὴν δὲ διαίρεσιν διμερῆ δεῖ εἶναι ὅσον πρὸς τὰ γένη, ὑφ' οἷς πλείω εἴδη δυοῖν εἰσιν. Οὐκοῦν κἂν τῇ διαιρέσει τοῦ γένους τοῦ ἀγγέλου, πολλῶν ὄντων εἰδῶν τῶν ἀγγέλων, εἴ γε μέλλοι εἶναι διαίρεσις διμερής, οὐ γίνεται δυσὶ διαφοραῖς ἀληθέσιν, ἀλλὰ διὰ μιᾶς ἀληθοῦς, δηλονότι θετικῆς, καὶ δι' ἄλλης οὐκ ἀληθοῦς, δηλονότι στερητικῆς, ὑφ' αἷς πάντα τὰ εἴδη τῶν ἀγγέλων, δυνήσονται περιέχεσθαι.

Τρίτον δὲ τρόπον εὑρίσκεται ἡ οὐσία. — Νῦν φανεροῖ τὸν τρίτον τρόπον τοῦ ἔχειν οὐσίαν, ὅτι ὡς ἔστιν ἐν ταῖς οὐσίαις ταῖς ἐξ ὕλης | συγκειμέναις καὶ εἴδους· καὶ ἡ λέξις σαφής ἐστι καὶ οὐδεμιᾶς f. 85 ἀναπτύξεως δεομένη.

## CVIII.

ρη'. Διαφορὰ γενικὴ Θεοῦ καὶ ἀγγέλων καὶ τῶν συνθέτων.

Τοῦτο μόνον σημειώσασθαι δεῖ, ὅτι κατὰ τουτονὶ τὸν διδάσκαλον διαφορά ἐστιν ἐν τοῖς ἐξ ὕλης συγκειμένοις καὶ εἴδους, καὶ ταῖς ἁπλαῖς

---

9 *πρὸς τὸν ὑπερεχόμενον καὶ ὑποδεέστερον* L 30 *Τρίτον δὲ τρόπον*: c. VI, 3, p. 173, 10

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐσίαις, τουτέστιν τοῖς ἀγγέλοις καὶ ταῖς ψυχαῖς καὶ αὐτῷ τῷ Θεῷ, διότι ἐν ταῖς συνθέτοις οὐσίαις διπλῆ ἐστι σύνθεσις πραγματική· μία μέν, ὅτι πραγματικῶς εἰσὶ συγκείμεναι ἐξ ὕλης καὶ εἴδους, ἐξ ὧν ἀναθρῴσκει ἡ οὐσία ἢ ἡ φύσις· ἑτέρα δὲ σύνθεσις πραγματική ἐστιν ἐν αὐταῖς, ὅτι σύγκεινται ἐξ οὐσίας καὶ τοῦ εἶναι· σαφὲς γάρ ἐστιν ὡς ἡ φύσις ἐκείνη, ἡ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους ἀναθρῴσκουσα, οὐκ ἔστι τὸ εἶναι αὐτῆς· λαμβάνει γὰρ αὕτη τὸ εἶναι τοῦτο παρ' ἄλλου, καὶ ἔστιν ἔξω τῆς οὐσίας αὐτῆς· ποιεῖ μέντοι γε σύνθεσιν μετ' αὐτῆς, ὡς εἴρηται. Ἐν δὲ τοῖς ἀγγέλοις μία μόνον ἐστὶ σύνθεσις πραγματική· οὐ γὰρ ἔχουσι τὴν προτέραν, διὰ τὸ τὰ εἴδη αὐτῶν μὴ εἶναι ἐν ὕλῃ προσειλημμένα ὥστ' ἐντεῦθεν ἀναθρῴσκειν ἐν αὐτοῖς τὴν σύνθεσιν τοῦ εἴδους μετὰ τῆς ὕλης, ἀλλ' εἴδη εἰσὶν ὑφεστῶτα· ἔχουσι μέντοι γε τὴν δευτέραν σύνθεσιν, ὅτι σύγκεινται ἐκ τοῦ εἶναι καὶ τῆς οὐσίας· οὔτε γὰρ ἡ οὐσία αὐτῶν ἐστὶ τὸ εἶναι αὐτῶν, ἀλλὰ λαμβάνουσι τὸ εἶναι παρ' ἄλλου, ὃ ποιεῖ προσιὸν σύνθεσιν μετὰ τῆς οὐσίας. Ἐν δὲ τῷ Θεῷ οὐδεμία ἐστὶ σύνθεσις, οὔτε πραγματικὴ διὰ τὰ πρότερον εἰρημένα, οὔτε τοῦ λόγου, ἥτις διαφοράν τινα τίθησιν ἐκ τοῦ μέρους τοῦ Θεοῦ, ἀλλὰ μόνον ἐν τῇ ἡμετέρᾳ θεωρίᾳ.

Νῦν λείπεται θεωρεῖν πῶς ἂν εἴη. — Διορισάμενος περὶ τῶν οὐσιῶν τῶν ἁπλῶν καὶ τῶν συνθέτων φύσεων, νῦν διορίζεται περὶ τῆς τῶν συμβεβηκότων οὐσίας. Καὶ πρῶτον μὲν διορίζεται περὶ τῶν οὐσιῶν τῶν συμβεβηκότων καθ' αὑτάς· Δεύτερον, ἐν τῇ πρὸς τὰς ἀρχὰς τῶν οὐσιῶν τάξει, ἀφ' ὧν ἀνίσχουσιν· τρίτον, δείκνυσι πῶς ἔχουσιν αἱ τῶν συμβεβηκότων οὐσίαι πρὸς τὰς λογικὰς ἐπινοίας. Περὶ δὲ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι ποταπή τις εὑρίσκεται οὐσία ἐν τοῖς συμβεβηκόσι· δεύτερον παραβάλλει τὰ συμβεβηκότα πρὸς τὰ οὐσιώδη εἴδη.

Ἐπειδὴ τοίνυν, φησίν, εἴρηται ὅπως εὑρίσκεται ἡ οὐσία ἐν ἁπάσαις ταῖς οὐσίαις, νῦν λείπεται θεωρεῖν πῶς ἐστιν ἡ οὐσία ἐν τοῖς συμβεβηκόσιν, καὶ βουλόμενος δείκνυται, ὅτι ἀτελῶς ἐν τούτοις εὑρίσκεται καὶ ἀσυμπληρώτως, λόγῳ τοιῷδε χρῆται· τὰ ἔχοντα ὁρισμοὺς ἀτελεῖς ἔχουσι καὶ τὰς οὐσίας αὐτῶν ἀτελεῖς· ἀλλὰ τὰ συμβεβηκότα εἰσὶ τοιαῦτα· ἄρα καὶ τὸ συμπέρασμα. Ἡ μείζων σαφής ἐστιν· ὁ γὰρ ὁρισμὸς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος. Ἡ ἐλάττων δείκνυται, ὅτι τὰ συμβεβηκότα οὐ δύνανται ὁρίζεσθαι εἰ μὴ τιθεμένων ἐν τοῖς αὐτῶν ὁρισμοῖς τῶν ὑποκει-
f. 85v μένων, ἅπερ ἐστὶν | ἔξω τοῦ γένους αὐτῶν· αἴτιον δὲ σφίσι τοῦ προσίεσθαι τὰ ὑποκείμενα ἐν τοῖς αὐτῶν ὁρισμοῖς, τὸ μὴ εἶναι αὐτὰ καθ' αὑτὰ ἀπολελυμένα τῶν ἰδίων ὑποκειμένων.

---

18 *Νῦν λείπεται θεωρεῖν*: c. VII, 1, p. 173, 20   22 *πῶς ἔχουσιν* om S

Ε.ΥΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## CIX.

### ρθ΄. Ὅπως τὸ συμβεβηκὸς οὐδενὶ τρόπῳ δύναται νοεῖσθαι χωρὶς τοῦ ὑποκειμένου.

Ἐκ τούτων ἐναργές ἐστι συνιδεῖν, ὅτι τὸ συμβεβηκὸς οὐδένα τρόπον, οὔτε ἁπλῇ νοήσει, οὔτε τῇ ὁδῷ τῆς συνθέσεως καὶ τῆς διαιρέσεως, δύναται νοεῖσθαι χωρὶς τοῦ ἰδίου ὑποκειμένου· καὶ τοῦτο οὕτω συνάγεται. Τὸ μὴ δυνάμενον ὁρίζεσθαι χωρίς τινός, οὐδὲ δύναται νοεῖσθαι χωρὶς αὐτοῦ· ἀλλ' οὐδὲν συμβεβηκὸς ὁρίζεσθαι δύναται χωρὶς τοῦ ὑποκειμένου· οὐδὲ νοεῖσθαι ἄρα. Ἡ μείζων σαφής ἐστιν· ὁ γὰρ ὁρισμὸς ἁπλῆν σημαίνει τοῦ νοῦ σύλληψιν. Ἡ δὲ ἐλάττων ἀποδέδεικται πρότερον.

## CX.

### ρι΄. Ὅπως τὸ συμβεβηκὸς ὁρίζεσθαι δύναται χωρὶς τοῦ ὑποκειμένου.

Εἰ δέ τις ἀπορήσειε λέγων· καὶ μὴν οὗτος ὁ ὁρισμὸς ἀληθῶς ἐστιν ὁρισμός· λευκότης ἐστὶ χρῶμα διακριτικὸν ὄψεως· συνίσταται γὰρ ἐκ γένους ἰδίου, τῆς λευκότητος, καὶ διαφορᾶς ἰδίου τῆς εὑρίσκεσθαι δυναμένης· ἀλλ' ὅμως ἐν τῷδε τῷ ὁρισμῷ οὐ κεῖται τὸ ὑποκείμενον· οὔτε γὰρ τὸ χρῶμα, οὔτε τὸ διακριτικόν ἐστιν ὑποκείμενον τῆς λευκότητος· ἐν τῷ κυρίως ἄρα ὁρισμῷ τοῦ συμβεβηκότος οὐκ ἔστιν ἀναγκαῖον τιθέναι τὸ ὑποκείμενον. Πρὸς ταύτην τὴν ἀπορίαν διχῶς ἀποκρίνεσθαι δυνατόν· ἕνα μὲν τρόπον τῇδε· τὸ συμβεβηκὸς διχῶς ὁρίζεσθαι δύναται· ἕνα μὲν τρόπον λογικῶς, κἂν τῷ τοιούτῳ ὁρισμῷ αὐτοῦ οὐ τίθεται τὸ ὑποκείμενον, ἀλλὰ γένος μόνον καὶ διαφορά· ἄλλον δὲ τρόπον φυσικῶς, κἂν τῷ τοιούτῳ ὁρισμῷ τίθεται ἐξ ἀνάγκης τὸ ὑποκείμενον. Ἀλλ' ὁ ὁρισμὸς τοῦ λευκοῦ ὁ νῦν ἀποδεδομένος λογικός ἐστιν ὁρισμός, καὶ διὰ τοῦτο γένει μόνον καὶ διαφορᾷ χρῆται. Ἂν δὲ φυσικῶς ὁρισθείη, καὶ τὸ ὑποκείμενον ἐντεθήσεται, οἷον· λευκότης ἐστὶ ποιότης τῆς ἐπιφανείας, ὄψεως διακριτική, ἤ τι τοιοῦτον. Ἄλλον δὲ τρόπον ἀποκρίνεσθαι δυνάμεθα τῇδε· ἐν παντὶ συμβεβηκότος ὁρισμῷ, ἄν τε φυσικὸς ᾖ, ἄν τε λογικός, ἐξ ἀνάγκης ἐγκλείεται τὸ ὑποκείμενον. Καὶ περὶ μὲν τοῦ φυσικοῦ πάνυ σαφές ἐστι· περὶ δὲ τοῦ λογικοῦ τῇδε θεωρητέον. Τὸ κείμενον ἐν τῷ ὁρισμῷ τινὸς ὁρίζοντος (ὁρίζον δέ φημι τὸ μέρος τοῦ ὁρισμοῦ), ἐγκλείεται δήπου τῷ ὁριστῷ, ὥσπερ πᾶν ὅπερ ἂν ἐν τῷ τοῦ ζῴου λόγῳ τεθείη καὶ τῷ ὁρισμῷ τοῦ ἀνθρώπου ἐμπεριέχεται, εἰ καὶ μὴ τίθεται ῥητῶς οὑτωσίν, ἀλλ' ἐν τῷ ὁρισμῷ τοῦ χρώματος, ὅπερ ἐστὶν ὁριστικὸν τῆς λευκότητος ὡς γένος αὐτῆς, τὸ ὑποκείμενον τίθεται· φαμὲν γάρ· χρῶμα ἐστὶ πέρας τοῦ διαφανοῦς ἐν σώματι πεπερασμένῳ· ἰδοὺ τὸ ὑποκείμενον. Οὐκοῦν τὸ ὑποκείμενον τίθεται ἐν τῷ ὁρισμῷ τῆς

ΙΩΑΝΝΙΝΑ 2006

λευκότητος. Ἐντεῦθεν δὲ δήλη καὶ ἡ πρὸς τὸ τῆς ἀπορίας ἐπιχείρημα λύσις.

Ἐφεξῆς λέγων· Ἀλλ' ὥσπερ, διορίζεται περὶ τῶν συμβεβηκότων
f. 86 ἐν τῇ πρὸς τὰ οὐσιώδη εἴδη παραθέσει, | καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον διορίζεται περὶ αὐτῶν κατὰ τὴν ὁμοιότητα· δεύτερον, κατὰ τὴν ἀνομοιότητα. Πρῶτον τοίνυν τίθησι μίαν ὁμοιότητα, τοιαύτην οὖσαν. Ὥσπερ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης ἓν εἶναι καταλείπεται, δηλονότι τὸ οὐσιῶδες, ἐπειδὰν συντιθῶνται, οὕτως ἐκ τοῦ συμβεβηκότος καὶ τοῦ ὑποκειμένου ἓν εἶναι καταλείπεται, δηλαδὴ τὸ ἐπουσιῶδες, ἐπειδὰν τὸ συμβεβηκὸς προσέλθῃ τῷ ὑποκειμένῳ. Δεύτερον, ἑτέραν τίθησιν ὁμοιότητα ἐκ τῆς πρώτης ἀνίσχουσαν, καὶ ἔστι τοιαύτη. Ὥσπερ τὰ συμβεβηκότα οὐκ ἔχουσι τελείαν οὐσίαν, οὕτως οὐδὲ τὸ οὐσιῶδες εἶδος ἀπηρτισμένην οὐσίαν ἔχει, οὔτε ἡ ὕλη. Καὶ τούτου λόγος ἐστίν, ὅτι κἂν τῷ ὁρισμῷ τοῦ οὐσιώδους εἴδους δεῖ τίθεσθαι τὸ οὗ ἐστιν εἶδος, καὶ διὰ τοῦτο ὁ τοῦ εἴδους ὁρισμὸς διὰ προσθηκῶν γίνεται· ἔστι γὰρ προσθήκη τινός, ὅπερ ἐστὶν ἔξω τοῦ γένους αὐτοῦ· τοῦτο δέ ἐστιν ἡ ὕλη, ὥσπερ καὶ ὁ τοῦ ἐπουσιώδους εἴδους ὁρισμὸς τῇ τοῦ ὑποκειμένου προσθέσει γίνεται. Ὅθεν ἐν τῷ τῆς ψυχῆς ὁρισμῷ, ἥ ἐστιν εἶδος ὡς ἀληθῶς, τὸ σῶμα τίθησιν, ὅπερ ἐστὶν ὕλη, ὁ φυσικός, ὁ τὴν ψυχὴν θεωρῶν καθὸ ἔστι μόνον εἶδος τοῦ φυσικοῦ σώματος.

## CXI.

ρια΄. Ὅπως ἐν τῷ τῆς ψυχῆς λόγῳ τίθεται τὸ σῶμα.

Ἰστέον δὲ ὅτι ἡ ψυχὴ διττῶς ὁρίζεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς οὐσία τις, καὶ οὕτως ἐν τῷ ταύτης ὁρισμῷ οὐκ ἀνάγκη τιθέναι τὴν ὕλην· ἕτερον δὲ τρόπον, καθόσον εἶδος ἐστί, καὶ διότι τὸ εἶδος, ᾗ εἶδος, ἀναφερόμενόν ἐστι πρὸς τὴν ὕλην καὶ σχετικόν, διὰ τοῦτο ἐν τῷ λόγῳ τοῦ εἴδους ἡ ὕλη τίθεται ἐξ ἀνάγκης. Εἰ γάρ τις ἐντελῶς ὁρίζεσθαι βούλοιτο θάτερον τῶν ἀναφορικῶς ἀντικειμένων, ὁρίζοιτ' ἂν τοῦτο διὰ θατέρου. Ὁ δὲ φυσικὸς ὁρίζεται τὴν ψυχὴν μόνον ὡς εἶδος ἐστί, καὶ διὰ τοῦτο τίθησιν ἐν τῷ ταύτης λόγῳ τὴν ὕλην, τουτέστι τὸ ὀργανικὸν σῶμα, ὁριζόμενος αὐτήν· ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος.

## CXII.

ριβ΄. Ὅτι ἡ τινὸς ὕλη διττῶς λαμβάνεσθαι δύναται.

Ἔτι, γινώσκειν δεῖ, ὡς ἡ ὕλη τινὸς εἴδους διχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς ἀμόρφωτος, ὥσπερ φαμὲν ὅτι τὸ φῶς ἐστὶν ἐντελέχεια τοῦ ἀέρος, ὅς ἐστιν ὕλη δήπου, οὐκ ἐγκλείουσα, τό γε ἐφ' ἑαυτῇ,

---

3 Ἀλλ' ὥσπερ: c. VII, 1, p. 173, 26

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ τοῦ φωτὸς εἶδος· ἕτερον δὲ τρόπον, ὡς μεμορφωμένη, ὡς ὅταν λέγωμεν ὅτι τὸ φῶς ἐστὶν ἐντελέχεια τοῦ πεφωτισμένου, ὃ δὴ πεφωτισμένον οὐκ ἔστι τοιοῦτον εἰ μὴ διὰ τοῦ φωτός. Ἀλλ' ἐπειδὰν τὸ σῶμα τῆς ψυχῆς ὕλην λέγωμεν, οὐ δεῖ νοεῖν τὸ σῶμα ὕλην εἶναι ἀμόρφωτον, ἅτε τοῦ σώματος ἔχοντος τὸ σωματικὸν εἶναι δι' ἑτέρου τινὸς εἴδους παρὰ τὴν ψυχήν, καὶ οὕτως αὐτῇ τῇ ψυχῇ ὑποβεβλημένου, ἀλλὰ δεῖ νοεῖν ὕλην εἶναι τῆς ψυχῆς τὸ σῶμα μεμορφωμένην, ὡς εἶναι τὸ σῶμα διὰ τῆς ψυχῆς καὶ οὐ δι' ἑτέρου τινὸς εἴδους. Ἡ δὲ ἀμόρφωτος | αὐτῆς ὕλη ἡ πρώτη ἂν εἴη f. 86v
ὕλη· ἕκαστον γὰρ οὐσιῶδες εἶδος ἑνοῦται τῇ πρώτῃ ὕλῃ ἀμέσως.

## CXIII.

### ριγ'. Ὅπως διαφέρουσιν εἶδος καὶ εἰδικὸν αἴτιον.

Ἐπὶ δὲ τούτοις εἰδέναι χρή, ὅτι τὸ εἶδος ἐν τῇ πρὸς τὴν ὕλην αὐτοῦ τάξει, τήν γε ἀμόρφωτον, ἀληθῶς λέγεται εἶναι εἶδος, διότι τὸ εἶδος καὶ ἡ ὕλη δύο εἰσὶ πραγματικῶς διακεκριμένα, οὐδ' ἔστι θάτερον ἐκ τῆς θατέρου οὐσίας, ἀλλ' ἐκ τῆς οὐσίας τῆς μεμορφωμένης ὕλης τὸ εἶδος ἐστὶ καὶ ἡ μορφή· καὶ διὰ τοῦτο οὐ δυνατόν ἐστι λέγειν κυρίως ἐκεῖνο εἶδος αὐτῆς εἶναι, ἀλλὰ κυρίως λέγοιτ' ἂν αἴτιον εἰδικόν, διότι τοῦτ' ἔστιν εἰδικὸν αἴτιον τινός, ᾧ τι ἔχει τὸ εἶναι τοιόνδε· ὅθεν τὸ φῶς κυρίως αἴτιον εἰδικόν ἐστι τοῦ πεφωτισμένου, ἀλλ' οὐκ εἶδος. Ὅθεν ταὐτὸν μέν εἰσι πραγματικῶς εἶδός τε καὶ εἰδικὸν αἴτιον, ἀλλὰ τῇ πρὸς διάφορα τάξει μόνον διενηνόχασιν· ἡ γὰρ λευκότης ἐστὶν εἶδος τοῦ τοίχου, καὶ εἰδικόν ἐστιν αἴτιον τοῦ λευκοῦ τοίχου.

## CXIV.

### ριδ'. Ὅπως ὁ Θεὸς οὐ δύναται ποιεῖν τὸ πρᾶγμα ἄνευ τῆς εἰδικῆς αἰτίας.

Ἐπὶ δὲ πᾶσιν ἐν τούτῳ τῷ μέρει σημειώσασθαι δέον ἂν εἴη καὶ τόδε, ὅτι τὸ ποιεῖν τι πρᾶγμα τὸν Θεὸν ἄνευ τῆς εἰδικῆς αἰτίας αὐτοῦ καθάπαξ ἐστὶν ἀδύνατον, ὁποῖον ἂν εἴη τό τε πρᾶγμα, τό τε τοῦ πράγματος αἴτιον τὸ εἰδικόν, εἴτε οὐσιῶδες, εἴτε ἐπουσιῶδες. Ἀδύνατον γάρ ἐστι τὸν Θεὸν τὴν χρείαν τῆς εἰδικῆς αἰτίας ἀναπληροῦν, ἀλλὰ δύναται πάνυ ποιεῖν τι πρᾶγμα χωρὶς τοῦ εἴδους αὐτοῦ, ὥσπερ ὑποκείμενόν τι ποιεῖν δύναται χωρὶς τινὸς συμβεβηκότος, εἰ καὶ μὴ δύναται ποιεῖν ὕλην εἰλικρινῆ χωρὶς εἴδους τινός, διότι τοῦτ' ἂν ἦν συμπλέκειν τὴν ἀντίφασιν, ὡς μετὰ ταῦτα ῥηθήσεται· κἀντεῦθεν εἰδέναι δεῖ, ὅτι πᾶν μὲν εἰδικὸν αἴτιον, ὁποῖον ἂν εἴη, εἴτε οὐσία, εἴτε συμβεβηκός, οὐσιῶδες τέ ἐστι καὶ ἐκ τοῦ ἐνδοτέρου λόγου, τοῦ οὗ ἐστιν εἰδικὸν αἴτιον, ἀλλ' οὐδὲν εἶδος, οὔτε οὐσιῶδες, οὔτε ἐπουσιῶδες, ἔστιν ἐκ τῆς οὐσίας τοῦ οὗ ἐστιν εἶδος, καὶ ἀλλήλων μὲν οὖν πραγματικῶς διαφέρουσιν.



Ε.Γ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλ' ὅμως ἐν τοῖς οὐσιώδεσι. Νῦν διορίζεται περὶ τῶν ἐπουσιωδῶν εἰδῶν ἐν τῇ πρὸς τὰ οὐσιώδη τάξει κατὰ τὰς τούτων διαφοράς· ἅπτεται δέ τινων πέντε διαφορῶν, τοῖς γε ἀκριβῶς σκοπουμένοις, καὶ πρῶτον μέν φησιν, ὡς εἰ καὶ καθάπερ τὸ οὐσιῶδες εἶδος οὐκ ἔχει καθ' αὑτὸ τὸ εἶναι ἀπολελυμένον χωρὶς τοῦ οὗ ἐστι καὶ ᾧ πρόσεισιν, οὕτω καὶ τὸ συμβεβηκὸς οὐκ ἔχει καθ' αὑτὸ τὸ εἶναι ἀπολελυμένον ἄνευ τοῦ ἰδίου ὑποκειμένου, ὅμως ταύτῃ πρῶτον διαφέρουσιν, ὅτι ᾧ μὲν προσέρχεται τὸ οὐσιῶδες εἶδος, τουτέστι τῇ ὕλῃ, οὐκ ἔχει καθ' αὑτὴν τὸ εἶναι ἀπολελυμένον τοῦ ἰδίου εἴδους χωρίς· ᾧ δὲ ἐπεισέρχεται τὸ συμβεβηκός, ὄν ἐστι καθ' αὑτὸ ἀπηρτισμένον, ὑφεστὼς ἐν τῷ ἰδίῳ εἶναι, ὃ δὴ εἶναι φυσικῶς
f. 87 προηγεῖται τοῦ συμβεβηκότος τοῦ ἐπεισερχομένου. Δευτέρα διαφορά | ἐστιν, ὅτι ἐκ τῆς ἑνώσεως τοῦ εἴδους μετὰ τῆς ὕλης ἐκεῖνο τὸ εἶναι φύεται, ἐν ᾧ τὸ πρᾶγμα ὑφέστηκε καθ' αὑτό, ἀλλ' ἐκ τοῦ συμβεβηκότος καὶ τοῦ ὑποκειμένου οὐκ ἐκεῖνο τὸ εἶναι συνίσταται, ἐν ᾧ τὸ πρᾶγμα ἐστὶν εἴτουν ὑφέστηκεν· προϋποτίθεται μὲν οὖν. Τρίτη διαφορά ἐστιν, ὅτι ἐκ μὲν τοῦ εἴδους μετὰ τῆς ὕλης ἓν καθ' αὑτό τι γίνεται, ὅπερ ἐστὶν ὀρθῶς ἐν κατηγορίᾳ, ἀλλ' οὐκ ἐκ τοῦ συμβεβηκότος καὶ τοῦ ὑποκειμένου, ἀλλ' ἕν ἐστι καὶ ὂν κατὰ συμβεβηκός· οὐ γὰρ γίνεται ἐξ αὐτῶν τὸ εἶναι, ἐν ᾧ τὸ πρᾶγμα ὑφέστηκε καὶ δι' οὗ ἐστι τὸ πρᾶγμα ἓν καθ' αὑτό, ἀλλὰ γίνεταί τι εἶναι ἐκ τῆς τούτων ἑνώσεως, δεύτερον καὶ ἑπόμενον, οὗ ἄνευ τὸ πρᾶγμα ὑφεστάναι ἐν τῷ τοιούτῳ εἶναι δυνατόν ἐστιν, ὥσπερ τὸ πρῶτον δύναται νοεῖσθαι χωρὶς τοῦ δευτέρου. Τετάρτη διαφορά ἐστιν, ὅτι ἐκ μὲν τῆς συναφείας τοῦ εἴδους μετὰ τῆς ὕλης μία τις οὐσία καταλείπεται, ἐκ δὲ τῆς τοῦ συμβεβηκότος πρὸς τὸ ὑποκείμενον οὐκ ἀναθρώσκει τις οὐσία. Πέμπτη διαφορά ἐστιν, ὅτι τὸ οὐσιῶδες εἶδος, εἰ καὶ ἐν ἑαυτῷ θεωρούμενον οὐκ ἔχει λόγον ἐν ἑαυτῷ τελείας καὶ ἀπηρτισμένης οὐσίας, ἔστι μέντοι γε μέρος ἀπηρτισμένης οὐσίας· ἀλλὰ τὸ συμβεβηκὸς οὔτε λόγον ἔχει τελείας οὐσίας, οὔτε μέρος ἐστὶν οὐσίας ἀπηρτισμένης καὶ ἐντελοῦς, ἀλλ' ὥσπερ ἐστὶν ὂν πῇ, οὕτω καὶ οὐσίαν ἔχει πῇ.

## CXV.

### ριε'. Εἰ τὸ εἶδος ἔχει καθ' αὑτὸ εἶναι ἀπολελυμένον ἄνευ τῆς ὕλης.

Ἀπορήσειε δ' ἄν τις εἰ τὸ οὐσιῶδες εἶδος οὐκ ἔχει καθ' αὑτὸ εἶναι ἀπολελυμένον, ὡς εἴρηται, ἄνευ τῆς ὕλης, ἐπεὶ τὴν λογικὴν ψυχὴν ἴσμεν οὐσιῶδες εἶδος τυγχάνουσαν, ἔχουσαν μέντοι καθ' ἑαυτὴν τὸ εἶναι τῆς ὕλης ἀπολελυμένον, ὅθεν καὶ χωρίζεσθαι τοῦ σώματος δύναται. Ῥητέον

1 *Ἀλλ' ὅμως ἐν τοῖς οὐσιώδεσι*: c. VII, 1, p. 173, 36    29 *πῇ ... πῇ* sic codd.

Ε.Γ. ... ΙΩΑΝΝΙΝΑ 2006

οὐκοῦν, ὅτι τῷ οὐσιώδει εἴδει, ᾗ ἐστιν οὐσιῶδες, οὐ πρόσεστι τὸ ἔχειν εἶναι ἀπολελυμένον τῆς ὕλης· οὕτω γὰρ πᾶν εἶδος οὐσιῶδες τοιοῦτον ἂν ἦν, ὅπερ ἐστὶ ψεῦδος περὶ τῶν μὴ ὑφεστώτων εἰδῶν. Ὡσαύτως δὲ οὐδὲ πρόσεστιν αὐτῷ τὸ μὴ δύνασθαι ἔχειν· οὕτω γὰρ οὐδὲν ἂν ἔμελλεν ἔχειν· καὶ τοῦτο ψεῦδος ἐπὶ τῆς λογικῆς ἐστι ψυχῆς· ἀλλ' ἑκάτερον αὐτῷ δύναται συμβαίνειν. Τοῦτο μέντοι γε ἀληθές ἐστιν, ὅτι τὸ οὐσιῶδες εἶδος, ᾗ τοιόνδε ἐστίν, οὐκ ἔχει τὸ εἶναι ἀπολελυμένον τῆς ὕλης. Εἰ δὲ ἡ λογικὴ ψυχὴ τοιοῦτον εἶναι ἔχει, οὐ πρόσεστιν αὐτῇ τοῦτο ᾗ ἐστιν οὐσιῶδες εἶδος, ἀλλ' ᾗ τοιόνδε εἶδος οὐσιῶδες, τουτέστι καθ' αὑτὸ ὑφεστὼς καὶ τέλειον.

## CXVI.

### ρις'. Εἰ τὸ συμβεβηκὸς ἔχει τελειοτέραν οὐσίαν τοῦ οὐσιώδους εἴδους.

Ἔτι ζητήσεως ἄξιον πότερόν ἐστιν ἡ οὐσία ἀτελεστέρα τοῦ οὐσιώδους εἴδους ἢ τοῦ συμβεβηκότος, καὶ δεῖ λέγειν, ὅτι ταῦτα διχῇ θεωρεῖσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς εἰσὶν ὄντα· ἕτερον δὲ τρόπον, ὡς ἐν κατηγορίᾳ τίθενται. Κατὰ μὲν οὖν τὸν πρότερον τρόπον | θεωρουμένων, τὸ f. 87v οὐσιῶδες εἶδος τελεωτέραν οὐσίαν κέκτηται τοῦ συμβεβηκότος· πᾶν γὰρ οὐσιῶδες εἶδος οὐσία ἐστίν, καὶ πᾶν εἶδος ἐπουσιῶδες συμβεβηκός ἐστιν. Ἀλλ' ἡ οὐσία, ᾗ ἐστιν οὐσία, τελεώτερον ὄν ἐστιν ἢ τὸ συμβεβηκός, καὶ ἀκολούθως ἔχει τελεωτέραν οὐσίαν. Εἰ δὲ κατὰ τὸν δεύτερον τρόπον θεωρηθείη, δεῖ λέγειν, ὅτι τὸ συμβεβηκὸς ἐξ ἀφαιρέσεως ἔχει τελεωτέραν οὐσίαν· ἔστι γὰρ ἡ αὐτοῦ οὐσία ἀκέραιος, καὶ καθ' αὑτὴν τίθεται καὶ ὀρθῶς ἐν κατηγορίᾳ ὡς εἶδος· οὐδὲν δὲ οὐσιῶδες οὐσίαν ἔχει ἀκέραιον, οὐδὲ τίθεται ἐν κατηγορίᾳ ὀρθῶς, ἀλλ' ἢ μόνον κατὰ ἀναγωγήν. Εἰ δέ τις ἀντιτιθείη λέγων· καὶ μὴν τὸ ἔχον τελείαν οὐσίαν ἁπλῶς ἐστι τιμιώτερον καὶ καθ' αὑτὸ τοῦ δηλοῦντος μέρος οὐσίας, ἀλλὰ ῥητέον, ὅτι τοῦτ' ἀληθές ἐστι ἐπὶ τῶν ἄλλων τῶν ἴσων, ὥσπερ ἁπλῶς τελεωτέραν οὐσίαν ὁ ἄνθρωπος ἔχει διὰ τὸ δηλοῦν οὐσίαν ἀκέραιον τῆς λογικῆς ψυχῆς, ἢ τῆς ἀκεραίου ταύτης οὐσίας μέρος ἐστί· δύναται μέντοι τοιούτῳ εἶναι τί μέρος, ὅπερ ἁπλῶς τε καὶ καθ' αὑτὸ τελεώτερον ἂν εἴη καὶ τελεωτέραν οὐσίαν ἔχοι ἄλλου τινὸς ὅλου. Οὕτως οὖν ἔχει κἀπὶ τοῦ προκειμένου.

Ἀλλὰ διότι τὸ μάλιστα. — Νῦν διορίζεται περὶ τῶν συμβεβηκότων ἐν τῇ πρὸς τὴν οὐσίαν παραθέσει, ἀφ' ἧς ἀνίσχουσί τε καὶ γίνονται, καὶ πρῶτον μὲν κοινῶς διασαφεῖ περὶ πάντων, ὡς ἄρα ἐξ ἀνάγκης τὰ συμβεβηκότα ἐκ τῆς οὐσίας παράγονται· δεύτερον, τοῦτο καὶ εἰδικῶς φανεροῖ. Φησὶ τοίνυν πρῶτον, ὅτι τὰ συμβεβηκότα τὴν οὐσίαν αἰτίαν ἔχει, καὶ δείκνυσι λόγῳ τοιῷδε. Τὸ μέγιστον καὶ πρῶτον καὶ ἀληθέστατον

---

33 *Ἀλλὰ διότι μάλιστα:* c. VII, 2, p. 174, 19



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἕν τινι γένει αἴτιόν ἐστι πάντων τῶν ἄλλων τῶν ἐν ἐκείνῳ τῷ γένει· ἀλλ' ἡ οὐσία ἐστὶ πρῶτον μέγιστον καὶ ἀληθέστατον ἐν τῷ γένει τοῦ ὄντος· ἡ οὐσία ἄρα πάντων ἐστὶν αἰτία τῶν ὄντων. Ἡ μείζων ἐναργὴς μέν ἐστι καὶ δι' Ἀριστοτέλους ἐν τῷ δευτέρῳ τῶν μετὰ τὰ φυσικά· δύναται μέντοι καὶ παραδείγματι φανεροῦσθαι καθὼς αὐτὴν ἐνταῦθα παραμυθεῖται λέγων, ὅτι τὸ πῦρ ἐν τῷ τέλει τῆς θερμότητος ὄν, αἴτιον θέρμης πᾶσι τοῖς θερμοῖς πέφυκε πράγμασι. Καὶ ἡ ἐλάττων σαφὴς ἐστιν ἱκανῶς· ἡ γὰρ οὐσία μόνη, τῇ γε ἑαυτῆς φύσει, ὄν ἐστι καθ' αὑτὸ ὑφεστώς, τὰ δὲ ἄλλα πάντα ἔχουσι τὸ ἑτέρῳ προσπεφυκέναι. Οὐκοῦν ἕπεται καλῶς τὸ συμπέρασμα, τὸ τὴν οὐσίαν αἰτίαν εἶναι τῶν συμβεβηκότων, ἃ δευτέρως καὶ ὥσπερ πῃ τοῦ λόγου τοῦ ὄντος μετέχουσι.

## CXVII.

### ριζ'. Πότερον τὸ πῦρ αἴτιόν ἐστι θέρμης ἐν πᾶσι τοῖς θερμοῖς.

Περὶ δὲ τῆς μείζονος προτάσεως, ὅσον πρὸς τὴν ταύτης φανέρωσιν, ἀπορήσειεν ἄν τις, τουτέστιν εἰ τὸ πῦρ ἐν πᾶσι τοῖς θερμοῖς αἴτιόν ἐστι θέρμης. Ὁρῶμεν γάρ ποτε τὴν κίνησιν ἔν τισιν αἰτίαν θέρμης τυγχάνουσαν, οὐ τὸ πῦρ· καὶ ὁ ἥλιος δὲ αἴτιός ἐστιν ἔν τινι θέρμης ἄνευ πυρός. Πρὸς
f. 88 τοῦτο | τοίνυν ἀποκρίνεσθαι δυνατόν, ὅτι τὸ πῦρ αἴτιόν ἐστι θέρμης ἐν τοῖς θερμοῖς πᾶσι τοῖς θερμαινομένοις πυρί, ἀλλ' οὐκ ἐν πᾶσι τοῖς θερμοῖς ἁπλῶς. Ἢ δυνατόν ἐστι καὶ τῇδε ἀποκρίνεσθαι βέλτιον, ὅτι τὸ πῦρ ἐστι θέρμης αἴτιον ἐν ἅπασιν, ὁποῖά ποτ' ἂν εἴη· καὶ τούτου λόγος ἐστίν, ὅτι πᾶν τὸ κατ' οὐσίαν τοιόνδε αἴτιόν ἐστι πάντων τῶν ἄλλων, ἅπερ εἰσὶ τοιάδε, ὑστέρως καὶ κατὰ μετοχήν, ὥσπερ ὁ Θεός, κατὰ τὴν ἰδίαν οὐσίαν ἀγαθὸς ὢν καὶ αὐτὸ τοῦτο ὤν, αἴτιός ἐστι τῆς ὀντότητος καὶ τῆς ἀγαθότητος πᾶσι τοῖς ἄλλοις· ἀλλὰ τὸ πῦρ ἐστι θερμὸν κατ' οὐσίαν, τἆλλα δὲ κατὰ μετοχὴν διὰ τὸ τὴν ἐπιτεταμένην θέρμην ἀληθῶς ἀνίσχειν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πυρός, ὅπερ οὐκ ἔστιν ἀληθὲς ἐπὶ τῶν ἄλλων πραγμάτων.

Ὁ δ' εἰς τοὐναντίον λόγος οὕτως ἂν λύοιτο. Διχῶς δύναταί τι τινὸς εἶναι αἴτιον· ἕνα μὲν τρόπον, τῷ κατὰ τὴν ἐντελέχειαν ἐνεργείᾳ αὐτοῦ, καὶ οὕτω τὸ πῦρ οὐκ ἔστιν αἴτιον θέρμης ἐν πᾶσι τοῖς ἄλλοις θερμοῖς, ἀλλὰ τισὶ μόνον· ἄλλον δὲ τρόπον, κατά τινα μέθεξιν, καὶ οὕτω τὸ πῦρ ἐστιν αἴτιον θέρμης ἐν ἅπασι τοῖς θερμοῖς, διότι οὐδέν ἐστι θερμὸν εἰ μὴ τῇ θερμότητι, ἥτις ἐστὶ μετοχή τις τῆς τοῦ πυρὸς θερμότητος. Ὅθεν καὶ μᾶλλον δεῖ λέγεσθαι τὸ πῦρ αἴτιον θέρμης εἶναι τοῖς θερμοῖς πᾶσιν ἢ τὸν ἥλιον, εἰ καὶ τὸ πῦρ ἔχει λαβὸν τὴν δύναμιν ἐκείνην ἐκ τοῦ ἡλίου·

---

14 Titre omis dans L 23 *τοῦτο* S 29 *οὐκ* om S

Ε.Υ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὁ γὰρ ἥλιος οὐκ ἔστι θερμὸς κατ' οὐσίαν, ἀλλ' ἢ μόνον δυναμικῶς· τὸ δὲ πῦρ κατὰ τὴν ἰδίαν οὐσίαν ἐστὶ θερμόν.

Ὅπερ ὅμως διαφόρως συμβαίνει. Ἐνταῦθα διορίζεται περὶ τῶν συμβεβηκότων εἰδικῶς, ὅπως ἐκ τῶν τῆς οὐσίας ἀρχῶν γίνονται, καὶ διαιρεῖται τοῦτο τὸ μέρος εἰς τρία κατὰ τὰς τρεῖς διακρίσεις τῆς τῶν συμβεβηκότων παραγωγῆς. Φησὶ τοίνυν πρῶτον ὡς, ἐπειδὴ τὰ συμβεβηκότα ἐκ τῶν τῆς οὐσίας ἀρχῶν κτίζονται, μέρη δὲ καὶ ἀρχαὶ τῆς οὐσίας εἰσὶν ἡ ὕλη καὶ τὸ εἶδος, διὰ τοῦτο συμβαίνει τινὰ μὲν συμβεβηκότα πρωτοτύπως ἕπεσθαι τῷ εἴδει, τινὰ δὲ προηγουμένως τῇ ὕλῃ, καὶ τὴν διαφορὰν αὐτίκα προστίθησι τῶν συμβεβηκότων τῶν ἑπομένων τῷ εἴδει· ἔστι γὰρ εἶδός τι, φησίν, οὗ τὸ εἶναι οὐκ ἔστιν ἠρτημένον τῆς ὕλης, ὡς ἔχει ἡ λογικὴ ψυχή· ἔστι δέ τι εἶδος, οὗ τὸ εἶναι τῆς ὕλης ἤρτηται, ὥσπερ τὰ λοιπὰ εἴδη τῶν φυσικῶν ἔχουσι. Διὰ τοῦτο τῶν τῷ εἴδει ἑπομένων συμβεβηκότων τὰ μὲν οὐκ ἔχουσι κοινωνίαν μετὰ τῆς ὕλης, ὡς τὸ νοεῖν καὶ τὸ θέλειν, ἅπερ εἰσὶν οὐ δι' ὀργάνων σωματικῶν, ὥς φησιν ὁ Φιλόσοφος ἐν τρίτῳ περὶ ψυχῆς· τὰ δὲ ἔχουσί τινα κοινωνίαν μετὰ τῆς ὕλης, ὡς τὸ αἰσθάνεσθαι καὶ τὰ τοιαῦτα. Διὰ δὲ τὸ τὴν ὕλην οὐκ ἔχειν τὸ εἶναι εἰ μὴ δι' εἴδους, οὐδὲν συμβεβηκὸς ἕπεται τῇ ὕλῃ τῆς τοῦ εἴδους κοινωνίας χωρίς.

## CXVIII.

### ριη'. Ὅπως δεῖ νοεῖσθαι τὸ τινὰ μὲν συμβεβηκότα ἕπεσθαι τῇ ὕλῃ, τινὰ δὲ τῷ εἴδει.

Δεῖ μέντοι γε | εἰδέναι, ὅτι τὴν διάκρισιν ταύτην τῶν συμβεβηκότων f. 88v οὐ δεῖ νοεῖν μετὰ ἀποκληρώσεως, ὥστε δηλονότι τὰ μὲν ἑπόμενα τῇ ὕλῃ μηδαμῶς ἕπεσθαι τῷ εἴδει, τὰ δὲ ἑπόμενα τῷ εἴδει μηδόλως τῇ ὕλῃ ἀκολουθεῖν· ἀλλὰ ταῦτα δεῖ νοεῖν κατὰ τὸν προηγούμενον λόγον, ὥστε λέγεσθαι μὲν ἑπόμενα τῇ ὕλῃ τὰ πρωτοτύπως τῇ ὕλῃ ἀκολουθοῦντα, ὡς δὲ καὶ περὶ τοῦ εἴδους. Καὶ τοῦτο δηλοῖ αὐτὸς ὁ διδάσκαλος λέγων ἀρχοειδῶς καὶ πρωτοτύπως παρέπεσθαι ἔνια μὲν τῷ εἴδει, ἕτερα δὲ τῇ ὕλῃ, καὶ οὐκ εἰπὼν ἁπλῶς, ὅτι τὰ μὲν τῇ ὕλῃ, τὰ δὲ τῷ εἴδει. Καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἐρεῖ τις ἐπαπορῶν πῶς ἔνια συμβεβηκότα φησὶν ὁ διδάσκαλος ἕπεσθαι τῷ εἴδει ἄνευ τῆς κοινωνίας τῆς ὕλης· ἔδει γὰρ κατὰ τὰ προσεχῶς εἰρημένα πᾶν συμβεβηκὸς τῷ εἴδει ἑπόμενον ἕπεσθαι τούτῳ κατὰ τὴν κοινωνίαν τῆς ὕλης.

## CXIX.

### ριθ'. Εἰ δύναταί τι συμβεβηκὸς ἕπεσθαι τῷ εἴδει χωρὶς τῆς κοινωνίας τῆς ὕλης.

Δεῖ τοίνυν λέγειν πρὸς τοῦτο, ὅτι τὸ κοινωνίαν ἔχειν εἶδός τι μετὰ τῆς ὕλης διχῶς νοεῖσθαι δύναται· ἕνα μὲν τρόπον, καθ' ἕνωσιν εἴτουν

3 Ὅπερ ὅμως διαφόρως συμβαίνει: c. VII, 2, p. 174, 25

Ε.Υ.Δ τ.τ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰδοποίησιν, καὶ οὕτω μόνος ὁ Θεὸς καὶ οἱ ἄγγελοι εἴδη εἰσὶν ἀκοινώνητα πρὸς τὴν ὕλην, πάντα δὲ τὰ ἄλλα εἴδη κοινωνίαν ἔχουσι πρὸς αὐτήν, ὡς ταύτῃ ἑνούμενα καὶ ταύτην μορφοῦντα· ἕτερον δὲ τρόπον ἡ κοινωνία τοῦ εἴδους πρὸς τὴν ὕλην νοεῖται ὡς ἐμβαπτιζομένου τοῦ εἴδους τῇ ὕλῃ καὶ οἷον εἰπεῖν κατειλημμένου παντελῶς ὑπ' αὐτῆς, καὶ οὕτως ἡ λογικὴ ψυχὴ οὐκ ἔστιν εἶδος τῇ ὕλῃ κοινωνοῦν· οὐ γὰρ περιδράττεται καθάπαξ ταύτης ἡ ὕλη, τοὐναντίον μὲν οὖν, ὅσον πρὸς τὰς ὑψηλοτέρας δυνάμεις αὐτάς, τῆς ὕλης ὑπερεκτείνεται, καὶ διὰ τοῦτο οὔτε ἐμβυθίζεται ταύτῃ, οὔτε συνεκτείνεται ταύτῃ καὶ συνδιαιρεῖται κατὰ τὴν ταύτης διαίρεσιν, ἀλλὰ ὅλη τε ἐν ὅλῳ καὶ ὅλη ἐν ἑκάστῳ μέρει τῆς ὕλης ἐστίν, τουτέστι τοῦ σώματος. Τῷ μὲν οὖν προτέρῳ τρόπῳ προὐχώρει τὸ τῆς ἀπορίας ἐπιχείρημα· ὁ δὲ διδάσκαλος κατὰ τὸν δεύτερον τρόπον ἐνόει τὴν κοινωνίαν.

## CXX.

### ρκ'. Εἰ τὸ νοεῖν συμβεβηκός ἐστιν, ἑπόμενον τῇ λογικῇ ψυχῇ ἄνευ τῆς κοινότητος τοῦ σώματος.

Ἔχει δέ τινα καὶ τὸ νοεῖν ἀπορίαν, εἰ συμβεβηκός ἐστιν ἑπόμενον τῇ ψυχῇ χωρὶς τῆς τοῦ σώματος κοινωνίας· δόξειε γὰρ ἂν τοὐναντίον, ἐπεὶ τὸ μὲν νοεῖν οὐκ ἔστιν ἄνευ φαντάσματος ἐν τῇ παρούσῃ ζωῇ, τὸ δὲ φάντασμα οὐ δύναται εἶναι χωρὶς σώματος. Ἀλλὰ καὶ πρὸς ταύτην τὴν ἀπορίαν δεῖ λέγειν, ὅτι διχῶς τι εἶδος δύναται ἔχειν ἐνέργειάν τινα μετὰ τῆς τοῦ σώματος κοινωνίας· ἕνα μὲν τρόπον, ἐκ τοῦ μέρους τοῦ ἀντικειμένου, καὶ ταύτῃ πᾶσαι αἱ τῆς ψυχῆς ἐνέργειαι ἕπονται αὐτῇ τῇ ψυχῇ μετὰ τῆς κοινωνίας τοῦ σώματος, καὶ αὐτὸ τὸ νοεῖν, ᾧ δόξειεν ἂν ἥκιστα τῶν ἄλλων τοῦτο ἁρμόττειν· καὶ ὁ τούτου λόγος ἐστίν, ὅτι τὸ τῆς ἡμετέρας f. 89 νοήσεως ἀντικείμενον ἐν τῇ τῆς ζωῆς καταστάσει ταύτης | ἡ οὐσία τοῦ ὑλικοῦ πράγματος ἐστίν, εἴτουν τὸ τί ἦν εἶναι αὐτοῦ, ἐξαιρεθεῖσα τῶν τῆς ὕλης ἰδιωμάτων· τοῦτο δὲ οὐ δύναται ἀνυσθῆναι εἰ μὴ μεσιτευσάσης τῆς αἰσθήσεως καὶ τοῦ φαντάσματος, ἃ τὰς ἑαυτῶν ἐνεργείας ἄνευ σωματικῶν ὀργάνων οὐ δύνανται προχειρίζεσθαι, καὶ οὕτω τὸ νοεῖν ἐστι μετὰ τῆς κοινωνίας τοῦ σώματος, τό γε τοῦ ἀντικειμένου μέρος. Ἄλλον δὲ τρόπον ἔνεστιν ἐνέργειά τις εἴδει τινὶ μετὰ τῆς τοῦ σώματος κοινωνίας ἐκ τοῦ μέρους τοῦ ὀργάνου, καὶ οὕτως αἱ τῆς ψυχῆς ἐνέργειαι πᾶσαι μετὰ τῆς τοῦ σώματος κοινωνίας εἰσί, πλὴν τοῦ νοεῖν καὶ θέλειν· οὐ γὰρ ἐνεργοῦνται διά τινος ὀργάνου σωματικοῦ· καὶ οὕτω δεῖ νοεῖσθαι τὸν λόγον τοῦ Φιλοσόφου λέγοντος τὸν νοῦν εἶναι κεχωρισμένον, ὡς ἀπ' ὀργάνου δηλονότι σωματικοῦ, οὐ μέντοι κατὰ τὸ εἶναι. Λύεται δὲ ἐντεῦθεν καὶ τὸ τῆς ἀπορίας ἐπιχείρημα· ἐπεχείρει γὰρ ἐκεῖνο· τὸ νοεῖν εἶναι μετὰ

9 *οὔτε συνεκτείνεται ταύτῃ* om S

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς κοινωνίας τοῦ σώματος ἐκ τοῦ μέρους τοῦ ἀντικειμένου, ᾧ δεῖ συγχωρεῖν.

Ἐν τοῖς συμβεβηκόσι μέντοι γε. — Νῦν τίθησι τὴν δευτέραν διάκρισιν τῶν συμβεβηκότων ὅσον πρὸς τὴν παραγωγὴν αὐτῶν, καὶ πρῶτον μὲν διακρίνει τὰ συμβεβηκότα τὰ ἑπόμενα τῇ ὕλῃ· δεύτερον δὲ πόρισμα τίθησι περὶ τῶν τῷ ἀτόμῳ συμβεβηκότων καὶ τῶν ἰδίων παθῶν, ἃ τῷ εἴδει συμβεβηκότα μᾶλλον εἰσίν. Ἡ μὲν οὖν λέξις, σαφὴς οὖσα πάνυ, τῆς παρ' ἡμῶν ἀναπτύξεως οὐδαμῶς δεῖται.

## CXXI.

ρκα´ Τί ἐστι τὸ γενικὸν εἶδος καὶ τί ἐστι τὸ εἰδικόν.

Ἀλλὰ δεῖ τινα σημειώσασθαι πρὸς ἐναργεστέραν τῆς τοῦ διδασκάλου διανοίας φανέρωσιν, οἷον αὐτίκα, ὅτι τὸ μὲν εἶδος τοῦ μικτοῦ ἐστι τὸ εἶδος τὸ γενικόν, τὰ δὲ ἄλλα εἴδη, τὰ ὑπὲρ τὸ εἶδος τοῦ μικτοῦ, τυγχάνουσιν εἰδικά, ὥσπερ ἡ λογικὴ ψυχή, ἡ αἰσθητικὴ ψυχὴ καὶ αἱ λοιπαὶ πᾶσαι· καὶ διὰ τοῦτο τὰ ἑπόμενα τῇ ὕλῃ συμβεβηκότα κατὰ τὴν τάξιν ἣν ἔχουσι πρὸς τὸ εἶδος ψυχῆς τινος, ὥσπερ ἐστὶ τὸ νοεῖν καὶ τὸ θέλειν, ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων, ἕπεσθαι λέγονται ταύτῃ κατὰ τὴν τάξιν ἣν ἔχει πρὸς τὸ εἰδικὸν εἶδος· τὰ δὲ ἀκολουθοῦντα τῇ ὕλῃ κατὰ τὴν τάξιν ἣν πρὸς τὸ μικτὸν εἶδος ἔχει, λέγονται ταύτῃ ἀκολουθεῖν ἐν τῇ πρὸς τὸ γενικὸν εἶδος τάξει.

## CXXII.

ρκβ´. Πότερον ἡ αὐτὴ τῷ ἀριθμῷ μελανία ἐστὶν ἐν τῷ ζῶντι καὶ τῷ νεκρῷ.

Ἔτι ἐπαπορεῖν δεῖ, εἴπερ ἡ αὐτὴ τῷ ἀριθμῷ μελανία μένει ἐν τῷ νεκρῷ, ἥτις ποτὲ ἦν ἐν τῷ ζῶντι· δόξειε γὰρ ἂν μένειν ἡ αὐτὴ τῷ ἀριθμῷ· ἡ γὰρ αἴσθησις οὐκ ἂν ἀπατηθείη περὶ τὸ ἴδιον ἀντικείμενον· ἀντικείμενον δὲ τῆς ὄψεως τὸ χρῶμά ἐστιν. Ἐπεὶ τοίνυν τῇ ὄψει δοκεῖ τὸ χρῶμα ταὐτὸν εἶναι τῷ ἀριθμῷ ἔν τε τῷ ζῶντι καὶ τῷ νεκρῷ, καὶ οὕτω δεῖ ἔχειν. Ἀλλ' εἰς τοὐναντίον ἐστὶν ἡ κοινὴ πάντων δόξα, ἣ τὴν ἐν τῷ ζῶντι λευκότητα τὴν αὐτὴν εἴδει κἂν τῷ νεκρῷ εἶναι διϊσχυρίζεται, | f. 89v εἰ καὶ μὴ τὴν αὐτὴν ἀριθμῷ. Ἔστι δὲ καὶ λόγον ἀποδοῦναι τῆς δόξης. Ἀναιρεθέντος γὰρ τοῦ ὑποκειμένου, ἐξ ἀνάγκης ἀναιροῦνται καὶ πάντα τὰ συμβεβηκότα τὰ ἐν αὐτῷ· ἀλλὰ τοῦ ἀνθρώπου θνήσκοντος, ἀναιρεῖται τὸ ὑποκείμενον, ὅπερ ἦν πρότερον, ἐκ τοῦ τὸ μὲν πρότερον εἶδος ἀποχωρεῖν, τὴν λογικὴν ψυχὴν δηλονότι, ἕτερον δὲ ἐπεισέρχεσθαι, δηλονότι τὸ εἶδος τῆς σωματότητος, εἴτουν τοῦ πτώματος, ὃ δὴ τοῦ προτέρου διενήνοχεν εἴδει· ποικιλλομένου δὲ τοῦ εἴδους, ποικίλλεται καὶ τὸ ὑποκείμενον, ἐπειδὴ διὰ τοῦ

---

8 *Ἐν τοῖς συμβεβηκόσι*: c. VII, 2, p. 174, 36

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴδους τοῦτο συνίσταται. Ὅθεν τὸ ζῶν καὶ τὸ νεκρὸν οὐ διαφέρουσιν ἀριθμῷ μόνον, ἀλλ' ἔτι καὶ εἴδει· καὶ τοῦτο συμβαίνει τῇ διαφορᾷ τῶν εἰδῶν, ἃ διαφέρουσιν εἴδει. Καὶ τῶν συμβεβηκότων τοίνυν τῶν πρώτων ἀκολούθως ἀνῃρημένων, ἑπόμενόν ἐστι τὰ ὕστερον ἐπεισιόντα διαφέρειν ἀριθμῷ· οὐδὲν γὰρ ἀναιρούμενον δύναται ταὐτὸν ἀριθμῷ πάλιν ἐπισκευάζεσθαι, ἀλλὰ ταὐτὸν εἴδει μόνον· λέγω δὲ δυνάμει κτιστῇ· τῇ μέντοι θείᾳ δυνάμει, κἂν πάντα ἀναιρεθείη τὰ διαμένοντα καὶ πρὸς οὐδὲν καταντήσῃ, τὰ αὐτὰ τῷ ἀριθμῷ πάλιν ἐπισκευάζεσθαι δύνανται. Οὐδὲ δεῖ τὰ συμβεβηκότα ἐκεῖνα διαφέρειν ἀλλήλων εἴδει, εἰ καὶ τὰ ὑποκείμενα αὐτοῖς εἴδει διαφέρουσιν· οὐδὲν γάρ ἐστιν ἄτοπον τὸ αὐτὸ τῷ εἴδει συμβεβηκὸς ἐν διαφόροις εἴδεσιν εἶναι, ὥσπερ ἡ αὐτὴ τῷ εἴδει λευκότης ἀνθρώπῳ καὶ ἵππῳ τοῖς εἴδει διαφέρουσιν ἔνεστιν· καὶ τούτου λόγος ἐστίν, ὅτι τὰ συμβεβηκότα οὐ προσλαμβάνουσι τὸ εἶδος ἐκ τῶν ὑποκειμένων, ἀλλὰ μόνον τὸν ἀριθμόν. Εἰ δὲ καὶ ἡ λευκότης ἀνήκει πρὸς τὴν ὄψιν ὡς ἴδιον ἀντικείμενον, οὐ μέντοι γε διὰ τοῦτο καὶ ἡ ταὐτότης ἢ ἡ διαφορότης τῆς λευκότητός ἐστι τῆς ὄψεως ἴδιον, καὶ διὰ τοῦτο ἡ ὄψις οὐκ ἀπατᾶται, καλῶς μὲν οὖν πάνυ γινώσκει, ὅτι λευκότης τε ἦν ἐν τῷ ζῶντι ἀνθρώπῳ καὶ λευκότης αὖθις ἐστὶν ἐν αὐτῷ τελευτήσαντι, ἀλλὰ πότερον ἡ αὐτή ἐστιν ἢ ἑτέρα, περὶ τοῦτο δυνατόν ἐστιν αὐτὴν ἠπατῆσθαι· οὐ γὰρ ἡ γε περὶ τούτου κρίσις ἀνήκει τῇ ὄψει, ἀλλὰ μᾶλλον τῷ νῷ, ὅστις θέλει νοεῖν, ὅτι τοῦ ὑποκειμένου μεταβληθέντος, πάσαις ἀνάγκαις καὶ τὸ συμβεβηκὸς μεταβάλλεταί τε καὶ φθείρεται, ὡς μὴ δύνασθαι μεταβαίνειν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. Ὅθεν φησὶν ὁ Βοήτιος, ὅτι τὰ συμβεβηκότα φύσεως εἰσὶν ἀναξιοπαθούσης καὶ ἀγανακτητικῆς· φθείρεσθαι μὲν γὰρ ἀνέχονται, μεταβάλλεσθαι δὲ οὐκ ἀνέχονται.

## CXXIII.

### ρκγ'. Ὅτι τὰ ἄτομα διαφέρουσιν ἀλλήλων κατὰ συμβεβηκός.

Ἔτι δεῖ σημειώσασθαι ὅπως, κατὰ τουτονὶ τὸν διδάσκαλον, τὰ τοῦ αὐτοῦ εἴδους ἄτομα, κυρίως διαλεγομένων ἡμῶν, οὐκ ἂν λέγοιντο διαφέρειν
f. 90 ἀλλήλων οὐσιωδῶς, | ἀλλ' ἢ ἐπουσιωδῶς μόνον· οὐ γὰρ διαφέρουσιν ἀλλήλων διαφοραῖς εἰ μὴ ταῖς ἐπουσιώδεσι μόνον· φησὶ γὰρ ὅτι τὰ ἄτομα τοῦ αὐτοῦ εἴδους διαφέρουσιν ἀλλήλων τοῖς τοῦ ἀτόμου συμβεβηκόσιν.

## CXXIV.

### ρκδ'. Ὅπως οὐ δεῖ λέγεσθαι ἴδιον ἀνθρώπου τὸ γελᾶν, ἀλλὰ τὸ γελαστικόν.

Ἔτι δεῖ σημειοῦσθαι, ὅτι τὸ γελᾶν οὐκ ἔστιν ἴδιον τοῦ ἀνθρώπου, ἀλλὰ κοινόν ἐστι συμβεβηκός· καὶ τούτου λόγος ἐστίν, ὅτι ἴδιον ἐστίν, ὡς τῷ Πορφυρίῳ δοκεῖ, τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ προσόν· τὸ δὲ γελᾶν

καὶ ὁ γέλως, εἰ καὶ μόνῳ ἔνεστι τῷ ἀνθρώπῳ καὶ παντί, ἀλλ' οὐκ ἀεὶ πρόσεστιν αὐτῷ, ἀλλὰ ποτέ· οὐ γὰρ ἀεὶ γελᾷ ὁ ἄνθρωπος ἐνεργείᾳ. Ἀλλ' ἴδιον τοῦ ἀνθρώπου ὡς ἀληθῶς ἐστι τὸ εἶναι γελαστικόν, καὶ τοῦτ' ἔνεστιν ἀεὶ κατ' ἐνέργειαν τῷ ἀνθρώπῳ· ἀεὶ γὰρ ὁ ἄνθρωπός ἐστιν ἐνεργείᾳ γελαστικόν, τουτέστιν ἀεὶ κέκτηται ἐνεργείᾳ τὴν πρὸς τὸ γελᾶν ἐπιτηδειότητα, καὶ ἐν αὐτῷ τῷ μὴ γελᾶν ἐνεργείᾳ· κατὰ γὰρ τοὺς γραμματικοὺς πάντα τὰ τοιαύτην κατάληξιν ἔχοντα ἐπιτηδειότητά τινα παρονομάζουσιν, οὐκ ἐνέργειαν, οἷον γραμματικός, στρατηγικός, δρομικός, ὥσπερ ἄλλαι καταλήξεις αὖθις ἑτέραν ἔχουσιν ἔμφασιν.

Ἐφεξῆς λέγων· Δεῖ δὲ εἰδέναι, τίθησι τὴν τρίτην διαφορὰν τῆς τῶν συμβεβηκότων παραγωγῆς, καὶ φησὶν ὅτι τὰ συμβεβηκότα, ἔνια μὲν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πράγματος γίνονται, ὡς ἡ θερμότης ἐν τῷ πυρί· ποτὲ δὲ κατ' ἐπιτηδειότητα μόνην, καὶ τὰ ἑξῆς, ὡς ἔκκειται σαφῶς ἐν τῷ γράμματι.

## CXXV.

### ρκε'. Εἰ τὸ πῦρ δύναται ψυχραίνεσθαι.

Ἀλλ' ἀπορεῖν ἐνταῦθα δεῖ εἰ τὸ πῦρ δύναται ψυχραίνεσθαι, ὥσπερ τὸ ὕδωρ θερμαίνεσθαι δύναται· καὶ λύειν δεῖ, κατὰ τὸν διδάσκαλον τοῦτον, οὕτως. Τὸ πῦρ ἀεὶ θερμόν ἐστιν ἐνεργείᾳ· τὸ δὲ ἀεὶ καὶ κατ' ἐνέργειαν ἐνυπάρχον τῷ πράγματι ἀδύνατόν ἐστιν αὐτοῦ ποτε χωρισθῆναι. Εἰ τοίνυν ἡ θερμότης ἀεὶ καὶ κατ' ἐνέργειαν ἔνεστι τῷ πυρί, οὐκ ἂν δύναιτό ποτε ἐγγενέσθαι τούτῳ ψυχρότης· ταῦτα γάρ εἰσιν ἐναντία· τὰ δ' ἐναντία συνελθεῖν ἅμα οὐ δύνανται. Ἀλλ' εἰ καὶ μὴ δύναται ψυχραίνεσθαι τὸ πῦρ, δύναται μέντοι γε, ὡς δοκεῖ τισιν, ἐν τῇ θερμότητι πραΰνεσθαί πως, καὶ τοῦτο οὐκ ἔστιν ἄτοπον, τῆς θερμότητος πλάτος ἐχούσης ἐν τῇ ἰδίᾳ οὐσίᾳ, οὗ χάριν τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι δύναται, ὡς μέν ἐστιν ἐν τῷ μικτῷ, διὰ τὴν μείζω καὶ ἐλάττω διάθεσιν τῶν ἀντικειμένων, τῶν ἐν τῷ μικτῷ σώματι ἐπικρατούντων· ὡς δέ ἐστιν ἐν τῷ ἁπλῷ, διὰ τὴν μείζω καὶ ἐλάττω δύναμιν τοῦ ποιητικοῦ τούτων τῶν ποιοτήτων.

Ἔτι δὲ εἰδέναι δεῖ, ὅτι ἐν τοῖς συμβεβηκόσιν. Διορισάμενος ὁ διδάσκαλος περὶ τῶν οὐσιῶν τῶν συμβεβηκότων, νῦν ἐν τούτῳ τῷ μέρει διορίζεται πῶς ἔχουσιν αὗται αἱ οὐσίαι πρὸς τὰς λογικὰς ἐπινοίας, αἵ εἰσι γένος, εἶδος καὶ διαφορά. Καὶ πρῶτον μὲν | ποιεῖ τὸ εἰρημένον· f. 90v
δεύτερον, ἀπορίας λύει τινάς. Περὶ δὲ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διασαφεῖ πῶς τὰ συμβεβηκότα τίθενται ἐν κατηγορίᾳ ὀρθῶς τε καὶ κατ' εὐθεῖαν, καὶ ἀκολούθως πῶς ἔχουσι πρὸς τὴν ἐπίνοιαν τὴν τοῦ εἴδους· δεύτερον, πῶς ἔχουσι πρὸς τὸ γένος καὶ τὴν διαφοράν. Καὶ ἔστι τὸ

---

10 *Δεῖ δὲ εἰδέναι*: c. VII, 2, p. 175, 17 19 *καί* om L 30 *Ἔτι δὲ εἰδέναι δεῖ*: c. VII, 3, p. 175, 28

Ε.Υ.Δ τιμ.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006